eul_wid: hvm-ab

*Φιλίτας ὁ Κῷος* · Philetas of Cos

# Poetic Fragments

*Ποιητικὰ Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ἢ μὲν δὴ πολέεσσι

book 1.2 πεφύρησαι

book 1.3 χαλεποῖσι, θυμέ, γαληναίῃ δ’ ἐπιμίσγεαι οὐδ’ ὅσον ὅσσον, ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνῖαι

book 1.4 τετρήχασιν

book 2.1 ἄτραπον εἰς Ἀίδαο ἤνυσα, τὴν οὔπω

book 2.2 τις ἐναντίον ἦλθεν ὁδίτης

book 3.1 ἰσχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς Ἀνάγκη, ἥ ῥ’ οὐδ’ ἀθανάτους ὑποδείδιεν, οἵ τ’ ἐν Ὀλύμπῳ ἔκτοσθεν

book 3.2 χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο

book 1 νῦν δ’ αἰεὶ πέσσω, τὸ δ’ ἀέξεται ἄλλο νεῶρες πῆμα, κακοῦ δ’ οὔπω γίνεται ἡσυχίη

book 2.1 τῷ οἴμοι

book 2.2 πολέω γαίης ὕπερ ἠδὲ θαλάσσης [para]ἐκ Διὸς ὡραίων ἐρχομένων ἐτέων, οὐδ’ ἀπὸ Μοῖρα κακῶν μελέῳ φέρει, ἀλλὰ μένουσιν ἔμπεδ’ ἀ〈εὶ〉 καὶ τοῖς ἄλλα

book 2.3 προσαυξάνεται

book 3 ἀλλ’ ὅτ’ ἐπὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν [para]ἔλλαχε καὶ πενθέων φάρμακα μοῦνος ἔχει

book 4.1 καὶ γάρ

book 4.2 τις μελέοιο κορεσσάμενος κλαυθμοῖο κήδεα δειλαίων εἷλεν ἀπὸ πραπίδων.

book 1.1 Οὐ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης [para]αἱρήσει κλήθρην αἱρόμενος μακέλην, ἀλλ’ ἐπέων εἰδὼς κόσμον καὶ πολλὰ μογήσας μύθων

book 1.2 παντοίων οἶμον ἐπιστάμενος.

book 2.1 γηρύσαιτο δὲ νεβρὸς ἀπὸ ζωὴν ὀλέσασα ὀξείης κάκτου τύμμα

book 2.2 φυλαξαμένη

book 1.1 „Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια καί τι

book 1.2 προσηνές [para]εἰπεῖν, μεμνῆσθαι δ’ οὐκέτ’ ἐόντος ὁμῶς.“ Οὐ κλαίω ξείνων

book 1.3

σε φιλαίτατε, πολλὰ γὰρ ἔγνως καλά, καλῶν δ’ αὖ σοι μοῖραν ἔνειμε θεός.

book 2.1 γαῖαν μὲν

book 2.2 φανέουσι θεοί ποτε, νῦν δὲ πάρεστιν αἰψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος

book n Incertae sedis poetica

book 1 τά οἵ ποτε Κύπρις ἑλοῦσα μῆλα Διωνύσου δῶκεν ἀπὸ κροτάφων

book 2.1 δάσαντο δ’ ἐν

book 2.2 προχοῇσι μελαμπέτροιο Βουρίνης

book 3 Θεσσαλαί

book 4.1 Φλιοῦς γὰρ πόλις ἐστί, Διωνύσου φίλος υἱὸς

book 4.2 Φλιοῦς ἣν αὐτὸς δείματο λευκόλοφος

book 5.1 βουγενέας φάμενος

book 5.2 προσεβήσαο μακρὰ μελίσσας

book 6 οὐδ’ ὕκης ἰχθὺς ἔσχατος ἐξέφυγεν

book 7 θρῆσαι δὲ πλατάνῳ γραίῃ ὕπο

book 8.1 δμωίδες εἰς

book 8.2 ταλάρους λευκὸν ἄγουσιν ἔρι

book 9 ἀγαθὴ δ’ ἐπὶ ἤθεσιν αἰδώ

book 10 νήχυτον ὕδωρ

book 11 ἄστλιγξ

book 12 Ἄχναι

book 13 Ἀργανθώνιον

book 14 καί κεν Ἀθηναίης δολιχαόρου ἱερὸν ἄστυ

book t Dubium

book 1.1 Οὐρανίῃ μοῦνοι μὲν ἐλεύθεροι ἱεροεργοί, ἀνδράσι

book 1.2 παρ’ κείνοισιν ἐλεύθερον ἦμαρ ἔχοντες· δούλων δ’ οὔτις πάμπαν ἐσέρχεται οὐδ’ ἠβαιόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org